τῆς Ἰουδαίας. καὶ κατοικήσουσιν ἐκεῖ, καὶ κληρονομήσουσιν αὐτήν, καὶ τὸ σπέρμα τῶν δούλων σου καθέξουσιν αὐτήν. Καὶ οἱ ἀγαπῶντες τὸ Ὄνομά σου κατασκηνώσουσιν ἐν αὐτῇ.

Εἰς τὸ τέλος.

ΤΩ, ΔΑΒΙΔ.

Εἰς ἀνάμνησιν, εἰς τὸ σῶσαί με Κύριε. ξθ΄. 69.

Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες, Κύριε εἰς τὸ βοηθῆσαί μοι σπεῦσον. Αἰσχυνθήτωσαν, καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου. Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθήτωσαν οἱ βουλόμενοί μοι κακά. Ἀποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι οἱ λέγοντές μοι, εὖγε, εὖγε. Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε ὁ Θεός. Καὶ λεγέτωσαν διαπαντὸς, μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου. Ἐγὼ δὲ πτωχός εἰμι, καὶ πένης, ὁ Θεὸς βοήθησόν μοι. Βοηθός μου, καὶ ῥύστης μου εἶ σὺ, Κύριε μὴ χρονίσῃς. Δόξα.

# ΚΑΘΙΣΜΑ ΔΕΚΑΤΟΝ.

## ΨΑΛΜΟΣ ΤΩ, ΔΑΒΙΔ.

Τῶν Υἱῶν Ἰωναδὰβ, καὶ τῶν πρώτων αἰχμαλωτισθέντων. Ἀνεπίγραφος παρ᾽ Ἑβραίοις. ό. 70.

Ἐπὶ σοὶ Κύριε ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα; ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με, καὶ ἐξελοῦ με. κλῖνον πρός με τὸ οὖς σου, καὶ σῶσόν με. Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν, καὶ εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με. Ὅτι στερέωμά μου καὶ καταφυγή μου εἶ σύ. Ὁ Θεός μου ῥῦσαί με ἐκ χειρὸς ἁμαρτωλοῦ, ἐκ χειρὸς παρανομοῦντος